# AESOPI FABVLAE (XXII)

## 254-ΧΕΛΩΝΗ ΚΑΙ ΛΑΓΩΟΣ

χελώνη καὶ λαγωὸς περὶ ὀξύτητος ἤριζον. καὶ δὴ προθεσμίαν στήσαντες τοῦ τόπου[1] ἀπηλλάγησαν. ὁ μὲν οὖν λαγωὸς διὰ τὴν φυσικὴν ὠκύτητα ἀμελήσας τοῦ δρόμου[2] πεσὼν παρὰ τὴν ὁδὸν ἐκοιμᾶτο. ἡ δὲ χελώνη συνειδυῖα[3] ἑαυτῇ[4] βραδύτητα οὐ διέλιπε τρέχουσα[5] καὶ οὕτω κοιμώμενον τὸν λαγωὸν παραδραμοῦσα ἐπὶ τὸ βραβεῖον τῆς νίκης ἀφίκετο.

ὁ λόγος δηλοῖ, ὅτι πολλάκις φύσιν ἀμελοῦσαν πόνος ἐνίκησεν.

---

1 **τοῦ τόπου.** Régimen del verbo
2 **τοῦ δρόμου.** Régimen de ἀμελήσας
3 **συνειδυῖα.** Participio de perfecto activo
4 **ἑαυτῇ.** Dativo con valor posesivo
5 **διέλιπε τρέχουσα.** Perífrasis διαλείπω + participio: *dejar de*